# ΣΧΟΛΑΣΤΙΚΑΙ

## ΣΗΜΕΙΩ'ΣΕΙΣ

### Εἰς τὴν τοῦ Πορφυρίου Εἰσαγωγήν.

ΚΑτὰ τὴν ἄρτι ἐκτεθεῖσαν ἡμῖν τάξιν τε καὶ ἀπαρίθμησιν τῶν βιβλίων τῆς Λογικῆς Μεθόδου, ἣν αὖ πρὸ σκοποῦ τὴν Λογικὴν πραγματείαν ἀπὸ τοῦ περὶ Κατηγοριῶν βιβλίου ἄρξασθαι. ἀλλ' οἱ ταύτην μετιόντες, τὸ τοῦ Πορφυρίου συνταγμάτιον κοινῶς φαίνονται ἀποφαινόμενοι πάντων προηγεῖσθαι, διὰ τὸ πλεῖστα συμβάλλεσθαι, πρὸς εὐχερῆ κατάληψιν τῶν Κατηγοριῶν. διὸ καὶ ἡμεῖς τοῦτο πρὸ πάντων ἐκθέσθαι δεῖν ἔγνωμεν.

Εἴθισται δὲ τοῖς φιλοσοφοῦσι προσλαμβάνειν ἐφ' ἑκάστης πραγματείας τινά, ἃ καλεῖται προλεγόμενα. ἔστι δὲ ταῦτα προγινωσκόμενά τινα, ὧν ἀναγκαίως ἡ γνῶσις ὑποτίθεται τοῖς μέλλουσιν ἐξηγήσασθαι τινὰ πραγματείαν, οἱονεὶ πρόοδός τις καὶ συγκεχυμένη γνῶσις προσλαμβανομένη διὰ κατάληψιν εὐχερεστέραν τῶν ῥηθησομένων. ἐφ' ἑκάστης τοιγαροῦν πραγματείας οἱ Φιλόσοφοι πολλὰ προλέγειν εἰώθασιν. ἐπὶ δὲ τοῦ παρόντος ἡμῖν ἀποχρήσει πέντε, ἢ ἓξ ταῦτα. α΄. Τίς ὁ Συγγραφεὺς τοῦ βιβλίου. β΄. Τί τὸ κινῆσαν ὥστε τοῦτο συγγράψαι. γ΄. Τί τὸ περὶ οὗ ὁ λόγος. δ΄. Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ. ε΄. Τί τὸ χρήσιμον τούτου, καὶ τελευταῖον τίς ἡ τούτου διαίρεσις.

### Περὶ τοῦ Συγγραφέως.

Ὁ Συγγραφεὺς τοῦ παρόντος βιβλίου Πορφύριος τοὔνομα ἦν, ἀκμάσας κατὰ τοὺς χρόνους Αὐρηλιανοῦ, καὶ Διοκλητιανοῦ. τῷ γένει Φοῖνιξ. τῇ πατρίδι Τύριος. τῇ ἐπαγγελίᾳ Φιλόσοφος. τῇ αἱρέσει Πλατωνικός. τῇ θρησκείᾳ ὥς φασιν ἀποστάτης, ὁμιλητὴς χρηματίσας Πλωτίνου τοῦ πάνυ. συνεγράψατο δὲ τὸ παρὸν συνταγμάτιον χαριζόμενος τινὶ νεανίσκῳ τῶν εὐγενῶν Ῥωμαίων Χρυσαορίῳ. ὃς ἀπέστειλε πρὸς αὐτὸν τὸ πῦρ ἰσοροῦντα τῆς Αἴτνης, μέθοδόν τινα συγγράψαι αὐτῷ, δι' ἧς ποδηγετούμενος εἰς ῥᾳο-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τέραν κατάληψιν ἀφίκοιτο τοῦ περὶ Κατηγοριῶν βιβλίου. ὁ δὲ τὰ πλεῖστα ἀπὸ τῶν Τοπικῶν συλλεξάμενος τὴν πραγματείαν ταύτην συνέθετο, ἑπόμενος τῇ κατὰ Περιπατητικοὺς αἱρέσει.

### Περὶ τῆς Ἐπιγραφῆς.

Ἡ δὲ τούτου ἐπιγραφὴ διττὴ φέρεται. ἐπιγράφεται γὰρ περὶ τῶν πέντε Φωνῶν, ἔστι δ' ὅτε καὶ Εἰσαγωγὴ τοῦ Πορφυρίου. ὧν ἡ μὲν ἀπὸ τῶν πραγμάτων, περὶ ὧν ὁ λόγος, εἴληπται. δηλοῦνται γὰρ διὰ τῶν πέντε φωνῶν, αἱ πέντε καθόλου φύσεις. ἡ δὲ ἑτέρα ἀπὸ τοῦ τέλους. σκοπὸς γὰρ ἐστὶ τοῦ συντάγματος εἰσαγαγεῖν τοὺς πρωτοπείρους εἰς κατάληψιν τῶν κατηγοριῶν τοῦ Ἀριστοτέλους ὡς εἴρηται, καὶ τῶν ἄλλων τῶν εἰς Λογικὴν ἀνηκόντων.

### Περὶ τῆς Ὕλης τοῦ Συγγράμματος.

Ἡ δὲ Ὕλη τοῦ Συγγράμματος εἰσὶν αἱ πέντε καθόλου φύσεις καθὸ κατηγοροῦνται. ταυτὸ δὲ ἐστὶν εἰπεῖν, αἱ πέντε καθόλου κατηγορηματικαὶ φωναί, ὡς σημαντικαὶ τῶν καθόλου φύσεων. τὸ Γένος δηλονότι, τὸ Εἶδος, ἡ Διαφορά, τὸ Ἴδιον, καὶ τὸ Συμβεβηκός. ὑφ' ἃς ἀναγκαίως αἱ ἁπλαῖ πᾶσαι κατηγορηματικαὶ φωναὶ τελοῦσιν.

### Περὶ τοῦ χρησίμου.

Χρήσιμος δὲ ἐστὶν ἡ τούτων πραγματεία ὡς αὐτός που φησὶ Πορφύριος, εἴς τε τὴν τῶν Κατηγοριῶν διδασκαλίαν, καὶ τὴν τῶν Ὁρισμῶν ἀπόδοσιν, καὶ ὅλως εἰς τὸ περὶ διαιρέσεως, καὶ ἀποδείξεως. διὸ συμβάλλεται μὲν κατ' ἐξοχὴν εἰς τὴν κατανόησιν τῶν παρὰ Ἀριστοτέλους Κατηγοριῶν, ἑπομένως δὲ εἰς τὸ διαιρεῖν, ὁρίζειν, ἀποδεικνύειν, καὶ ἀναλύειν. ἅτινα εἰσὶ τοῦ Λογικοῦ ἔργα.

### Περὶ Διαιρέσεως.

Διαιρεῖται δὲ γενικώτερον ἡ βίβλος εἰς τρία. Πρῶτον εἰς τὸ Προοίμιον, ἐφ' ἑνὸς τοῦ πρώτου κεφαλαίου περατούμενον, ἐν ᾧ ἡ τῶν λεχθησομένων πρόθεσις. Δεύτερον, εἰς τὴν ἔκθεσιν τῶν πέντε καθόλου εἰρημένων φύσεων, ἐπὶ πέντε ἐφεξῆς κεφάλαια ἐκτεινόμενον. Καὶ Τρίτον εἰς τὴν τούτων αὐτῶν πρὸς ἀλλήλας παραβολὴν καὶ διάκρισιν.

ΠΡΟΟΙ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΓΑΣΙΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΓΕΩΡΓΙΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΠΡΟΟΙΜΙΟΝ

## Κείμενον.

„ Ὄντος ἀναγκαίου Χρυσαόριε, καὶ τὰ ἑξῆς.

Τέσσαρα ταῦτα πεπραγμάτευται τῷ Πορφυρίῳ ἐπὶ τοῦ προκειμένου προοιμίου. α΄. ἐκτίθεται τὸ χρήσιμον τῆς πραγματείας. β΄. ὑπισχνεῖται τὸν τρόπον τῆς διδασκαλίας, ὅτι σύντομος ἅμα καὶ εἰσαγωγικός. γ΄. τίνα ἐστὶ τὰ παραιτητέα αὐτῷ τῶν εἰς ταύτην ἀνηκόντων τὴν συγγραφὴν, καὶ τίνος χάριν. δ΄. κατὰ τίνα τῶν φιλοσοφούντων αἵρεσιν ἔσται αὐτῷ ἡ θεωρία.

### Περὶ τοῦ α΄. τῶν ἐν τῷ Προοιμίῳ.

Ἐπὶ τοῦ α΄. μέρους τοῦ Προοιμίου ἀμφισβητεῖται ὅπως χρὴ ἐννοεῖν τὸ ἀναγκαῖον. εἰσὶν οἱ λέγοντες ἀντὶ τοῦ χρησίμου εἰλῆφθαι τῷ Πορφυρίῳ, οἱ δὲ ὅτι τὸ κυρίως ἀναγκαῖον ἐννοεῖ. εἰς δήλωσιν τούτου ληπτέον, ὅτι τὸ ἀναγκαῖον τετραχῶς λέγεται, ὁσαχῶς καὶ τὸ αἴτιον, καὶ ὅτι ἐνταῦθα περὶ τοῦ πρός τι ἀναγκαίου ὁ λόγος, ὃ καὶ διχῶς λαμβάνεσθαι εἴωθεν. ἢ γὰρ ἁπλῶς ἐστὶν ἀναγκαῖον, ὡς οὗ ἄνευ τυχεῖν τοῦ οὗ ἕνεκα ἀμήχανον. ἢ τὸ πρὸς εὖ τε καὶ ῥᾷον τούτου τυχεῖν συμβαλλόμενον, ὃ καὶ χρήσιμον μᾶλλον ῥηθείη. Δεύτερον ληπτέον, ὅτι ἀναγκαῖον ἐνταῦθα δυνάμεθα ἐννοεῖν, ἢ τὸ κατὰ Πορφύριον συνταγμάτιον τῶν πέντε εἰρημένων φύσεων κατηγορηματικῶν καθόλου, ἢ τὴν γνῶσιν καὶ πρόληψιν τῶν αὐτῶν. εἰ μὲν οὖν περὶ τῆς γνώσεως ἐννοοῦμεν τὸ ἀναγκαῖον (οἷάπου καὶ Πορφύριος φαίνεται ἐννοῶν) ἁπλῶς τοῦτο ληπτέον. ἀναγκαία γὰρ ἡ πρόληψις τῆς ἐννοίας τῶν πέντε τούτων φύσεων, εἴς τε τῶν ἐν ταῖς Κατηγορίαις λεγομένων, καὶ ἁπλῶς εἰς πᾶσαν τὴν Λογικὴν Μέθοδον. ἥ, τε γὰρ διδασκαλία τῶν Κατηγοριῶν, περὶ Γενῶν μάλιστα, Εἰδῶν τε, καὶ Διαφορῶν διαλαμβάνει, ἐπί τε Οὐσίας καὶ Συμβεβηκότος, διαιροῦσα ταῦτα καὶ τάττουσα. ἀλλὰ καὶ οἱ ὁρισμοὶ ἐκ Γένους σύγκεινται καὶ Διαφορῶν, περὶ ὧν ἐνταῦθα ὁ λόγος. διαιρῆσαι δὲ οὐκ ἔστι τοῖς μὴ προειληφόσι, τί μὲν ἐστὶ Γένος, τί δὲ Διαφορὰ καὶ Εἶδος. γίνεται γὰρ ἡ διαίρεσις τῶν Γενῶν διὰ τῶν Διαφορῶν εἰς τὰ Εἴδη, ἀποδείξεως δὲ κυριωτάτη ἀρχὴ ὁ ὁρισμός. ὥστε κἀκείνης ἀδύνατον εὐπορῆσαι, τὸν τῆς γνώσεως τῶν εἰρημένων ἀμοιροῦντα φωνῶν. ἀναγκαία ἄρα ἁπλῶς ἡ πρό-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ληψις τῆς ἐννοίας, ὡς εἴρηται, τύπων εἰς κατάληψιν τῶν ἐν τῇ Λογικῇ πραγματείᾳ. εἰ δὲ ἐπὶ τοῦ κατὰ Πορφύριον συνταγματίου τὸ ἀναγκαῖον ἐννοοῦμεν, οὐχ οὕτως ἐστὶν ἀναγκαῖον, ὡς μὴ ἄλλως ἐνδέχεσθαι εἰς κατάληψιν ἐλθεῖν τῶν ἐν τῇ Λογικῇ· δυνατὸν γὰρ τὴν γνῶσιν τῶν ἐν αὐτῷ λεγομένων, καὶ ἀναλέξασθαι ἐν τοῖς Τοπικοῖς, (ὅθεν καὶ αὐτὸς ὁ Πορφύριος συνειλοχὼς πιστεύεται.) ἢ καὶ παρ᾽ ἄλλου του λαβεῖν. ὥστε οὐχ ἁπλῶς ἀναγκαῖον τὸ συνταγμάτιον, ἀλλὰ χρήσιμον μόνον. συνείλεκται γὰρ εὐφυῶς, καὶ τέτακται προσηκόντως ἐν αὐτῷ τὰ εἰρημένα, Γένος, Εἶδος, καὶ τὰ λοιπά. ὅ,τε τρόπος τῆς διδασκαλίας αὐτοῦ σαφὴς, καὶ εἰσαγωγικοῖς ὠφέλιμος.

## Περὶ τοῦ Β΄. μέρους τῶν ἐν τῷ Προοιμίῳ.

Ὅτι δὲ εἰσαγωγικῷ κέχρηται τῆς διδασκαλίας τρόπῳ, δῆλον τοῖς καὶ μικρὸν ἐπιστήσασι. διορίζει γὰρ πρὸ τῶν ἄλλων τὴν σημασίαν τῆς λέξεως, τὰ διάφορα ἐκτιθέμενος σημαινόμενα, καὶ σύντομον τὴν διδασκαλίαν ποιεῖται, ἀπεχόμενος τῶν βαθυτέρων ζητημάτων, τῶν δ᾽ ἁπλουστέρων ἁπτόμενος μὲν, ἀλλὰ μετρίως, καὶ μὴ ἐμβαθύνων εἰς τὸ ἀκριβές. ἐκφράζων μέν τοι καὶ αὐτὰ ταῦτα πλατύτερον, συχναῖς τε κέχρηται ἐπαναλήψεσι, καὶ παραδείγμασι πάντα διασαφεῖ. συγκρίνει τε πρὸς ἄλληλα τὰ ἐκτιθέμενα πολυειδῶς, καὶ διακρίνει ἀλλήλων, κοινωνίας καὶ διαφορὰς διδάσκων τῶν αὐτῶν, οἷς εὔληπτος ἡ διδασκαλία, καὶ εἰσαγομένοις προσήκουσα γίνεται.

## Περὶ τοῦ Τρίτου μέρους.

Τὰ δὲ ζητήματα ὧν ἀφέξεσθαι ὑπισχνεῖται, αὐτὸς ἐφεξῆς ἐκτίθησι τρία ταῦτα. Πρῶτον, πότερον τὰ Γένη καὶ τὰ Εἴδη ὑφεστηκότα εἰσὶν ἐν τοῖς οὖσιν, ἢ ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖται; Δεύτερον εἰ ὑφέστηκεν ἐν τοῖς οὖσι ταῦτα, πότερον σώματα εἰσὶ ἢ ἀσώματα, καὶ Τρίτον εἰ μὲν ἀσώματά εἰσι καὶ ὑφεστηκότα, πότερον χωριστά εἰσι, καὶ καθ᾽ ἑαυτὰ ὑφεστηκότα, ἢ ἐν τοῖς αἰσθητοῖς καὶ ἀτόμοις τὸ εἶναι ἔχει; τούτων οὖν ἀφέξεσθαι, διττῆς οὕνεκεν αἰτίας φησὶν, ὅτι τε βαθυτάτης εἰσὶ θεωρίας, καὶ οὐδὲ τῆς προκειμένης ἐξετάσεως οἰκεῖα. Μεταφυσικῶν γὰρ περὶ τῶν τοιούτων πολυπραγμονεῖν, εἰς οὓς ἤδη καὶ τὴν θεωρίαν ὑπερτίθησιν. ἀλλ᾽ οἱ νεώτεροι, καὶ ταῦτα πολυειδῶς βασανίζουσι, περὶ ὧν καὶ ἐριστικῶς ἀπεραντολογοῦντες, πλεῖστον ὅσον αὐτῶν καταχέουσι τὸν λόγον. ἡμεῖς μέντοι τό γε νῦν ἔχον πειρασόμεθα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

μεθα εἴπως ἐςὶ σαφέςερον περὶ αὐτῶν διαλαβεῖν. ἀλλ' ἐπεὶ τὸ γένος καὶ εἶδος τῶν καθόλου λεγομένων εἰσὶ, καὶ οἱ φιλοσοφοῦντες περὶ τῶν καθόλου εἰώθασι ποιεῖσθαι τὰς ἀνωτέρας ζητήσεις, ζητήσωμεν καὶ ἡμεῖς τὰ αὐτὰ περὶ τῶν αὐτῶν. ὅπως ποτε γὰρ τὸ καθόλου ὑφεςηκὸς εὕρηται, τὸν αὐτὸν τρόπον καὶ περὶ Γένους καὶ Εἴδους διορίσαι ἔξεςαι.

## Περὶ τοῦ Τετάρτου.

ΤΟῦτε τετάρτου μέρους αἴτιον, ὅτι οὐδ' οἱ πάλαι φιλοσοφήσαντες κατὰ πάντα ἐμόφωνοι ὑπῆρξαν, ἀλλ' ἦσαν ἐν αὐτοῖς αἱρέσεις διάφοροι περὶ Φιλοσοφίας, ὧν πρόκειτος ἦν ἡ τῶν Περιπατητικῶν, ἀπὸ Ἀριςοτέλους τὴν ἀρχὴν ἔχουσα, ἥτις καὶ νῦν πρεσβεύεται παρὰ πᾶσι. ταύτης τοιγαροῦν περὶ τῶν προκειμένων πλεώτερον διασκεψαμένοις, ὁ Πορφύριος ἐπαγγέλεται κατὰ τὴν διδασκαλίαν ταύτης ποιῆσαι τὴν θεωρίαν, ἄλλως τε καὶ τοῦ Χρυσαορίου αἰτοῦντος ταύτην εἰς κατάληψιν τῶν ἐν ταῖς Κατηγορίαις τοῦ Ἀριςοτέλους λεγομένων.

Ἰςέον ὅτι ἡ κατὰ Φιλοσοφίαν αἵρεσις, ἐςὶν ἀνδρῶν ἀςείων δόξα πρὸς ἑαυτοὺς μὲν συμφωνούντων, πρὸς ἑτέρους δὲ διαφωνούντων. ἀνδρῶν εἴρηται, καὶ οὐχὶ ἀνδρὸς, ἐπειδὴ ἡ τοῦ ἑνὸς ἀνδρὸς δόξα αἵρεσιν οὐ ποιεῖ, ἀλλὰ θέσιν. Θέσις δέ ἐςι παράδοξος ὑπόληψις, καὶ ἑνὸς τῶν ἐπὶ Φιλοσοφίᾳ γνωρίμων. ὡς ἡ τοῦ Ἡρακλείτου φέρε εἰπεῖν δόξα, ὅτι πάντα κινεῖται. καὶ ἡ τοῦ Παρμενίδου, ὅτι ἓν τὸ ὂν καὶ ἀκίνητον. καὶ ἡ τοῦ Ἀντισθένους, ὅτι οὐκ ἔςιν ἀντιλέγειν. πολλοὶ τοιγαροῦν εἰσὶν οἱ συνιςῶντες τὴν αἵρεσιν, ἀλλὰ καὶ ἀςεῖοι, τουτέςιν ἀξιόλογοί τε καὶ ἐπιςήμονες. οἱ γὰρ οἰκεῖοι καὶ ἀγελαῖοι αἵρεσιν ἐν Φιλοσοφίᾳ πῶς ποιήσονται; χαρακτηρίζει δὲ τὴν αἵρεσιν, συμφωνία μετὰ διαφωνίας. οἱ γὰρ καὶ πρὸς ἑαυτοὺς συμφωνοῦντες, καὶ πρὸς τοὺς ἄλλους, αἵρεσιν οὐ ποιοῦσι. τὸ γὰρ παρὰ πάντων ὁμολογούμενον κοινὴ ἔννοια ἐςίν. οἷον ὁ Θεὸς ἀγαθὸς, καὶ ὁ Ἥλιος φωτιςικός. ὠνομάσθησαν δὲ αἱ κατὰ Φιλοσοφίαν αἱρέσεις κατὰ τρόπους ἑπτά. ἢ γὰρ ἀπ' αὐτοῦ τοῦ Αἱρεσιάρχου, ὡς οἱ Πλατωνικοὶ καὶ Ἀριςοτελικοί. ἢ ἀπὸ τῆς πατρίδος τοῦ Αἱρεσιάρχου, ὡς οἱ Κυρηναϊκοὶ, διὰ τὸν Κυρηναῖον Ἀρίςιππον, καὶ οἱ Μεγαρικοὶ ἀπὸ Εὐκλείδου τοῦ Μεγαρέως. ἢ ἀπὸ τοῦ τόπου ἐν ᾧ τὰς συνουσίας ἐποιοῦντο, ὡς οἱ Στοϊκοὶ διὰ τὴν ἐν Ἀττικῇ ποικίλην Στοάν. ἢ ἀπὸ τῆς ἐν τῷ φιλοσοφεῖν ἐπικρίσεως, ὡς οἱ Ἐφεκτικοί. οὗτοι γὰρ ἀκαταληψίαν δοξάζοντες, ἐπεῖχον τὰς λύσεις τῶν προτάσεων. ἢ ἀπὸ τοῦ τρόπου τῆς ζωῆς, ὡς οἱ Κυνικοὶ, ζῶντες ἀδιαφόρως δίκην κυνῶν, τά τε δόγματα τῆς

Φιλο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.ΑΔ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φιλοσοφίας φρουροῦντες, καὶ ὑπερμαχοῦντες αὐτῆς διὰ τῶν ἀποδείξεων, καὶ τοὺς φίλους ἐκ τῶν ἀλλοτρίων, ἤγουν τοὺς πρὸς τὸ φιλοσοφεῖν ἐπιτηδείους ἐκ τῶν ἀνεπιτηδείων (1) πρὸς αὐτὸ διακρίνοντες, καὶ τοὺς μὲν εὐμενῶς δεχόμενοι, τοὺς δὲ μετὰ παρρησίας ἐλέγχοντες, καὶ τῆς συνοικήσεως ἐκδιώκοντες. ἢ ἀπὸ τοῦ τέλους, ὥσπερ οἱ Ἡδονικοί, τέλος λέγοντες Σοφίας τὴν Ἡδονήν, τὴν ἐκ γνώσεως καὶ ἀπαθείας ποριζομένην, καὶ τῆς πρὸς τὸ Θεῖον ἀναγωγῆς, τὸ ἀκρότατον τῶν ἐφετῶν. ἢ ἔκ τινος συμβαίνοντος, ὡς οἱ Περιπατητικοί, οὕτω κληθέντες, διὰ τὸ ποιεῖσθαι τὰς συνουσίας κατὰ περίπατον, ἵνα τῇ ψυχῇ ἅμα καὶ τὸ σῶμα γυμνάζοιτο.

### Ποσαχῶς τὰ δηλούμενα τῆς Καθόλου Φωνῆς.

Ἡ Καθόλου Φωνὴ πλατύτερον ἐννοουμένη, καὶ ἐφ' ὧν ὁπωσοῦν τις θεωρεῖται κοινότης ἐκτείνεται. καὶ γάρ ἐστιν ὅτε καὶ ἐπὶ τῶν ὁμωνύμων κέχρηται τῇ φωνῇ ὁ Φιλόσοφος, καὶ ἐπὶ τῶν ἀναλόγων, ἤτοι τῶν ἀφ' ἑνός, ἢ πρὸς ἕν. ἀλλὰ καὶ τὰ κοινὰ αἴτια, καθόλου αἴτια οἱ Σχολαστικοὶ εἰώθασι λέγειν, οἷα εἰσὶ τὰ οὐράνια σώματα. καὶ προσέτι τὰ κατὰ συμβεβηκὸς λεγόμενα, ὡς τὸ λευκὸν κατὰ Κύκνου καὶ Ψιμμιθίου. οὐδὲν μέντοι τούτων ἐστὶ κυρίως καθόλου, οἷον ἐστὶ περὶ οὗ ἡ ζήτησις ἐπὶ τοῦ παρόντος. ἔστι δὲ διαιρεῖσθαι τὸ καθόλου διχῶς, εἴς τε τὸ κατὰ συμπλοκὴν λεγόμενον, καὶ τὸ ἄνευ συμπλοκῆς. καὶ κατὰ συμπλοκὴν μὲν εἰσὶν αἱ Προτάσεις, καὶ ὅλως ὁ Ἀποφαντικὸς Λόγος, περὶ οὗ ἐν τῷ περὶ Ἑρμηνείας. τὸ δὲ ἄνευ συμπλοκῆς περιέχει πάντα ὅσα ἀνωτέρω εἴρηται, τὰ ὁμωνύμως λεγόμενα δηλαδή, καὶ τὰ ἀφ' ἑνός, ἢ πρὸς ἕν, καὶ τὰς κοινὰς αἰτίας. τὸ δὲ κυρίως σημαινόμενον τῆς καθόλου Φωνῆς, ἐστὶ μία τις φύσις ἐπὶ τῶν ὄντων συνωνύμως πολλοῖς ἐνυπάρχουσα, μία οὐχὶ τῷ ἀριθμῷ, ἀλλὰ τῷ λόγῳ. οὕτω συνεχῶς ὁ Φιλόσοφος ἀποδίδωσιν ἐν τοῖς Μεταφυσικοῖς. καὶ ἐν τοῖς περὶ Ἀποδείξεως διδάσκει τὸ Καθόλου εἶναι, ὃ πλείοσιν ἐνυπάρχει. ἔν τε τῷ β'. κεφαλαίῳ τοῦ περὶ Ἑρμηνείας βιβλίου, διακρίνων τῶν καθ'
„ ἕκαστα τὸ Καθόλου φησί. Καθόλου δὲ λέγω ὃ ἐπὶ πλειόνων πέφυκε
„ κατηγορεῖσθαι. ὁμοίως καὶ ἐν τῷ πρώτῳ τῶν ὑστέρων Ἀναλυτικῶν. δεῖ
„ ἄρα εἶναί τι καὶ τὸ αὐτὸ ἐπὶ πλειόνων εἶναι μὴ ὁμωνύμως. τὸ γὰρ Καθό-
„ λου, ἤτοι ἡ καθόλου φύσις, διὰ τὸ ἐν πλείοσιν ὑπάρχειν, πέφυκε κατὰ
„ πλειόνων κατηγορεῖσθαι.

Θεωρεῖται τοίνυν ἐνταῦθα τῷ Πορφυρίῳ τὸ Καθόλου ὅπερ ἐν πλείοσιν ὑπάρχον πέφυκε κατὰ πλειόνων κατηγορεῖσθαι. ἔστι δὲ τοῦτο δῆλον ἀπὸ τῶν ὁρισ-

(1) Τὸ φιλοσοφεῖν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁρισμῶν τῶν παραδιδομένων περὶ τῶν Καθόλου. ἐφαρμόττουσι γὰρ τοῖς Καθόλου ὑπὲρ ἐν πολλοῖς ὄντα, κατὰ πλειόνων πέφυκε κατηγορεῖσθαι. ὁ τρόπος γὰρ τοῦ ὁρίζεσθαι δεικνύει τὸν τρόπον τῆς θεωρίας.

### Εἰ ὑφέστηκεν ἐν τῇ φύσει τῶν ὄντων τὰ Καθόλου, ἤτοι τὰ Γένη καὶ τὰ Εἴδη, ἢ ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖται.

Τοιγαροῦν τὸ Καθόλου οἷον ἀνωτέρω ἐθέμεθα μετὰ τοῦ Φιλοσόφου, δείκνυται ὑφεστηκὸς ἐν τοῖς οὖσι πρὸ τῆς ἐπινοίας διὰ πολλῶν. Πρῶτον ἀπὸ τοῦ Φιλοσόφου πολλαχοῦ τὰ Καθόλου οὐ μόνον εἶναι ἐκτὸς ἐπινοίας ὁμολογοῦντος, ἀλλὰ καὶ διδάσκοντος διὰ μακρῶν. καὶ ἐν τῷ περὶ Οὐσίας Κεφαλαίῳ διδάσκει πρὸ τῆς ἐπινοίας τῆς ἡμετέρας εἶναι ἐν τοῖς οὖσι τὰς δευτέρας Οὐσίας, ἃς Γένη καὶ Εἴδη τῶν Οὐσιῶν εἶναι λέγει. ὡσαύτως καὶ τὰ ἐν ταῖς ἄλλαις Κατηγορίαις Γένη καὶ Εἴδη. ἐν δὲ τῷ περὶ Ἑρμηνείας κεφαλαίῳ ζ. διαιρεῖ τὰ ὄντα λέγων. τῶν πραγμάτων τὰ μὲν εἰσὶ Καθόλου, τὰ δὲ καθ' ἕκαστα. ὑφέστηκεν ἄρα ἐν τοῖς οὖσι, εἴπερ εἰσὶ πράγματα. ὁ αὐτὸς πολλαχοῦ διδάσκει τὰ Καθόλου εἶναι γένος ἐπιστητὸν ἐπὶ τῶν Ἐπιστημῶν. ὅθεν ἐστὶν ἐπιχειρήσασθαι τρόπῳ τοιῷδε.

Τῶν πρὸς ἄλληλα ἀνχφερομένων, θατέρου δοθέντος ἐν τοῖς οὖσιν ὑφεστῶτος, καὶ θάτερον ἀνάγκη δίδοσθαι. ἀλλ' ἡ Ἐπιστήμη, καὶ τὰ Καθόλου εἰσὶ τῶν πρὸς ἄλληλα λεγομένων, ἄρα τῆς Ἐπιστήμης ἐν τοῖς οὖσιν ὑφεστηκυίας, ἀνάγκη πᾶσα καὶ τὰ Καθόλου ἐν τοῖς οὖσιν ὑφεστηκότα εἶναι. ἡ μείζων προφανής. ἡ ἐλάττων ὁμοίως ὁμολογουμένη. Ἐπιστήμη γὰρ καὶ ἐπιστητὸν πρὸς ἄλληλα λέγονται. ἐπιστητὸν δὲ γένος ἐστὶ τὸ Καθόλου, ὥσπερ ἀνωτέρω παρὰ τοῦ Φιλοσόφου εἴρηται, καὶ κοινῇ πᾶσιν ὁμολογεῖται. Δεύτερον, ἐπεὶ οἱ ὁρισμοὶ πραγμάτων εἰσὶ δηλωτικοί, καὶ ἐφαρμόττουσι τοῖς ὁριζομένοις πράγμασιν, ἐκτὸς ἐπινοίας ὑπάρχοντες, ἔσται καὶ τὰ ὁριζόμενα πράγματα ἐκτὸς ἐπινοίας ὑφεστηκότα.

### Λόγοι τῶν ἐτεροδοξούντων, καὶ ἐπίλυσις αὐτῶν.

Οἱ βουλόμενοι τὰ Καθόλου ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖσθαι, πολλοὺς ἀνακαλοῦσι λόγους, οὓς προχειριστέον ἡμῖν καὶ τὸν ἐνόντα τρόπον ἐπιλυτέον. Πρῶτον εἰσάγουσι τὸν Φιλόσοφον εἰς σύστασιν τῆς οἰκείας δόξης, οἷς ἐκεῖνος τὰς κατὰ Πλάτωνα Ἰδέας ἐξελέγχει, χρώμενος εἰς ἀφαίρεσιν τῶν Καθόλου. Δεύτερον φασὶ πᾶν τὸ διά τινος ἐνεργείας παραγόμενον,

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ριθμὸν, καὶ ὅλως πᾶν τὸ ὑφεστηκὸς ἐν τοῖς οὖσιν, ἀνάγκη ἓν εἶναι τῷ ἀριθμῷ, καὶ καθ' ἕκαστα. ἀλλὰ πάντα τὰ γινόμενα παράγεται ὑπό τινος ἐνεργείας, καὶ ὅλως τὰ ὄντα εἰσὶν ὑφεστηκότα ἐν τοῖς οὖσιν, ἄρα ἀνάγκη πάντα ἓν εἶναι τῷ ἀριθμῷ, καὶ καθ' ἕκαστα. πρὸς ὃ ῥητέον. ὅτι τὸ προηγουμένως παραγόμενον, καὶ ὑφεστηκὸς ἐν τοῖς οὖσιν, ἕν ἐστι πάντως τῷ ἀριθμῷ καὶ καθ' ἕκαστα. ἑπομένως μέντοι συμπαράγεται τοῖς καθ' ἕκαστα καὶ τὰ Καθόλου, ἅπερ εἰσὶν αὐτῶν αἱ ἴδιαι φύσεις, καθ' ὃ ἀδιαφόρως ἐσχήκασι πρὸς ἄλληλα. Τρίτον εἰ διὰ τὰς Ἐπιστήμας τίθεται τὰ Καθόλου, ταῦτα δὲ φθαρτὰ, μάτην τίθεται. ἀλλὰ τὸ ἡγούμενον ἀληθῶς, ἄρα καὶ τὸ ἑπόμενον. Δείκνυται ἡ μετάληψις καθὸ ἀμφισβητεῖται μέρος, δηλονότι φθαρτὰ εἶναι τὰ Καθόλου. τὸ φθείρεσθαι, καὶ φθαρτὰ εἶναι, πάθος ἐστὶ τῶν γινομένων ἁπάντων. ἀλλὰ τὸ πάθος πρώτως καὶ καθ' αὐτὸ ἐφαρμόττει τοῖς Καθόλου, δι' ἐκεῖνα δὲ καὶ τοῖς καθ' ἕκαστα, ἄρα τὰ Καθόλου πρώτως καὶ καθ' αὐτὰ εἰσὶ φθαρτά. ἡ μείζων ὁμολογουμένη. ἡ ἐλάττων δείκνυται. τὰ γὰρ κοινὰ πάθη ταῖς κοιναῖς φύσεσιν πρῶτον ἐφαρμόττει. πρώτως γὰρ καὶ καθ' ἑαυτὸ ἐστὶν Ἄνθρωπος γελαστικὸς. ὁ δὲ Σωκράτης οὐ καθ' αὑτὸ, ἀλλ' ὅτι ἐστὶν Ἄνθρωπος.

Πρὸς τοῦτο ῥητέον χρωμένοις διαιρέσει. τὰ κοινὰ πάθη οὐ πάντα ἐφαρμόττει πρῶτον τοῖς Καθόλου, ἀλλ' ὅσα μόνον ἐκ μέρους τοῦ Εἴδους προέρχεται, ὅσα δὲ τῇ ὕλῃ συμπαρομαρτεῖ, τοῖς καθ' ἕκαστα μᾶλλον ἐφαρμόττει πρῶτον. τὸ τοίνυν φθείρεσθαι καὶ φθαρτὸν εἶναι ὑπὸ τῆς ὕλης προερχόμενον, τοῖς καθέκαστα πρῶτον καὶ καθ' αὑτὸ ἐφαρμόττει, δι' ἐκεῖνα δὲ
» καὶ τοῖς Καθόλου. φθειρομένης γὰρ τῆς πρώτης Οὐσίας φησὶν ὁ Φιλό-
» σοφος, φθείρεται καὶ τὰ ἐν αὐτῇ. ἀλλὰ τὰ Καθόλου καί τοι φθειρόμενα ἐφ' ἑκάστου τῶν ἀτόμων, διαμένει μέντοι ἀεὶ τοῖς ἐπιγινομένοις, καὶ ὅλως τὰ καθέκαστα προηγουμένως καὶ καθ' αὑτὰ φθείρεται.

### Τίς ὁ τρόπος τῆς ὑπάρξεως τοῦ Καθόλου, καὶ τίς ὁ Ὑπογραφικὸς αὐτοῦ τρόπος.

ΟΤι τὰ Καθόλου ἐκτὸς ἐπινοίας ὑφίσταται, τοῖς μέχρι τοῦδε εἰρημένοις ἀποχρώντως οἶμαι γέγονε δῆλον, ἀλλὰ καὶ δηλωθήσεται ἀκριβέστερον τοῖς μετὰ ταῦτα. τίς δὲ ὁ τρόπος τῆς ὑπάρξεως αὐτῶν, τοῖς τε πάλαι διαφερόντως ἠμφισβήτηται, καὶ εἰς ἔτι καὶ νῦν ἀμφίδοξος τοῖς φιλοσοφοῦσι διατελεῖ.

Τριχῶς μάλιστα τεθεώρηται τοῖς πάλαι φιλοσοφήσασιν ὁ τρόπος τῆς ὑπάρ-

ὑπάρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΔΙΕΥΘΥΝΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑπάρξεως τῶν Καθόλου. τοὺς γὰρ σώματα εἶναι νομίσαντας παραιτητέον. οἱ μὲν γὰρ χωριστὰ ἐτίθεσαν πρὸ τῶν ἀτόμων καὶ αἰσθητῶν ὑφεστάναι τὰ Γένη καὶ τὰ Εἴδη τῶν ὄντων, ἃ καὶ πρὸ τῶν πολλῶν ἐκάλουν. οἱ δὲ ἀχώριστα ἐν τοῖς αἰσθητοῖς καὶ ἀτόμοις ὑφεστηκότα. ταῦτα δὲ καὶ ἐν τοῖς πολλοῖς ἔλεγον. Τρίτος δὲ τρόπος ὑπάρξεως τούτων θεωρεῖται, κατὰ ἀφαίρεσιν ἀπὸ τῶν πολλῶν ἐπινοήματα ὑφεστηκέναι. πεπαυμένης δὲ τῆς ἐπινοίας συμπαύσεται καὶ τὸ ταῦτα εἶναι.

## Ἔκθεσις τοῦ Πλατωνικοῦ Δόγματος.

Τριχῶς οὖν τοῦ τρόπου τῆς ὑπάρξεως τῶν Καθόλου λεγομένου, πρὸ τῶν πολλῶν, ἐν τοῖς πολλοῖς, καὶ μετὰ τὰ πολλά, ἃ καὶ ὑστερογενῆ ἐκάλουν, τὸν μὲν πρῶτον τρόπον ἠσπάσατο Πλάτων, καὶ διὰ πολλῶν παρέδωκε τοῖς περὶ αὐτόν. φαίνεται γὰρ οὗτος εἰσηγούμενος Εἴδη τινὰ χωριστὰ πάσης ὑλικῆς δυσχερείας πρὸ τῶν ἐνύλων ἁπάντων ἀϊδίως ὑφεστῶτα, μεταβολῆς ἁπάσης ἐκτός, ἃ καὶ Γένη καὶ Εἴδη τῶν γινομένων ἐβούλετο εἶναι, αὐτόζωον, λέγων, καὶ αὐτοάνθρωπον, καὶ τὰ λοιπὰ ὡσαύτως. ὧν κατά τινα μιμητικὴν μέθεξιν, ἐν τῇ ὕλῃ γίνεσθαι ἔφασκε, Ζῶον, Ἄνθρωπον, καὶ τὰ ἄλλα πάντα. κἀκεῖνα μὲν κυρίως ὄντα ὠνόμαζεν, ὡς μηδέποτε τοῦ εἶναι ἀποπίπτοντα, τὰ δὲ ἐνταῦθα σκιὰς ἐκείνων, καὶ γινόμενα μόνον ἐκάλει, οὐκ ὄντα δέ, ὡς ἐν τῷ γίνεσθαι καὶ ἀπογίνεσθαι τὸ εἶναι ἔχοντα. ἐννοεῖν δέ φασιν οἱ πολλοὶ τὸν Πλάτωνα διὰ τούτων τοὺς ἐν τῷ Δημιουργικῷ Νῷ τῶν γινομένων λόγους, αὔλους ὄντας καὶ συναϊδίους. ὡς δὲ ὁ Φιλόσοφος φαίνεται πολλαχοῦ τὴν περὶ τούτων ἔννοιαν ἐκλαμβάνων τοῦ Πλάτωνος, οὐ νοήσεις μόνον τοῦ Δημιουργοῦ, καὶ λόγους τῶν δημιουργημένων ᾤετο ὁ Πλάτων τὰς ἰδέας εἶναι, ἀλλ' οὐσίας τινὰς νοητὰς ἐκτὸς τοῦ Δημιουργικοῦ Νοὸς καθ' ἑαυτὰς ὑφεστώσας. τὸ δὲ κινῆσαν τὸν Πλάτωνα εἰς τὴν τοιαύτην εἰσήγησιν φέρεται διττόν, ἥ, τε τῆς δημιουργίας ὑπόθεσις, καὶ τῶν ἐν γενέσει περιληπτικὴ θεωρία. ὁ γάρ τοι Δημιουργὸς (εἰ μὴ ἀλόγως ἐνεργεῖ, οὔτε μὴν ὡς ἡ φύσις ἀγνώστως, ἀλλ' ἐφίστησι γνωστικῶς τοῖς δημιουργουμένοις) ἀνάγκη ἐστὶν ἐν αὐτῷ ἔχειν τοὺς εἰδητικοὺς λόγους τῶν δημιουργημένων, πρὸς οὓς ἀφορῶν ὡς πρὸς ἀρχετύπους εἰκόνας ποιῇ τὰ τῇδε. παντὶ γὰρ τῷ διά τι τέλος ἐνεργοῦντι γνωστικῶς, ἀναγκαία ἐστὶν ἡ πρόληψις τῆς ἐννοίας τοῦ τέλους. οὐδὲν δὲ ἧττον καὶ ταῖς Ἐπιστήμαις ὁ Πλάτων ᾤετο συνεισάγεσθαι τὰ τοιαῦτα Εἴδη. ἑώρα γὰρ πάντα τὰ γινόμενα, καὶ ἁπλῶς πάντα τὰ ἔνυλα καθέκαστά τε ὄντα, καὶ ἐν κινήσει διηνεκεῖ, καὶ μεταβολῇ, διὸ καὶ ἐπιστημονικῆς θεωρίας ἀλλότρια. οὔτε γὰρ ὅρῳ κοινῷ περιληφθῆναι ἢ τοιαῦ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τα ἐνδέχεται, συνδρομῇ διαφόρων συμβεβηκότων ἑκάστου χαρακτηριζομένου, οὔτε ἰδίῳ ὅρῳ, μεταβάλλεται γὰρ ἀεί, καὶ οὐδ᾽ ἐν πολλοστῷ χρόνου μορίῳ διαμένει ταυτά. τῶν δὲ τοιούτων ἀδύνατον Ἐπιστήμην γενέσθαι, ἥτις ἐστὶν ὑπόληψις ἀμετάπτωτος, καὶ ἀεὶ ὡσαύτως ἔχουσα. ταῦτ᾽ ἄρα, ὃν ἔφημεν τρόπον τὰς ἰδέας ἐτίθη, καὶ ὡς ὑποδείγματα εἰς δημιουργίαν, καὶ ὡς ἀρχὰς γνωστικὰς εἰς ἐπιστημονικὴν θεωρίαν. συνάγεται οὖν ἐκ τῶν εἰρημένων τὰ Καθόλου κατὰ Πλάτωνα, εἶναι Εἴδη ἀσώματα, ἄφθαρτα, καὶ ἀΐδια, χωριστὰ καὶ οὐκ ἐν τοῖς αἰσθητοῖς ὑφεστῶτα. ὧν κατὰ μέθεξιν τὰ ἔνυλα Γένη καὶ Εἴδη γίνεται καὶ εἰσίν.

Εἰς σύστασιν τοῦ Πλατωνικοῦ δόγματος συμβάλλεται καὶ τὰ ἀνωτέρω ἐκτεθέντα εἰς ἀναίρεσιν τῶν ἐν τοῖς αἰσθητοῖς Καθόλου, καὶ ἕτερα. εἰς ἀνασκευὴν δὲ τοῦ αὐτοῦ ἐξαρκεῖ τὰ παρὰ τοῦ Φιλοσόφου πρὸς αὐτὸν ἐν πολλοῖς εἰρημένα εἰς ἀνατροπὴν τῶν τοιούτων Καθόλου.

### Ἔκθεσις τῆς δόξης τῶν τιθεμένων τὸ Καθόλου κατ᾽ ἐπίνοιαν μόνον ὑφεστηκέναι.

Πολλοὶ τῶν νεωτέρων ὁρῶντες, τὸ μὲν πρὸ τῶν πολλῶν καθόλου ἐν πολλοῖς ἀποποιούμενον τὸν Φιλόσοφον, ἐν δὲ τοῖς αἰσθητοῖς οὐδεμίαν κοινὴν φύσιν εἶναι οἰόμενοι, κατὰ τὴν τρίτην ἔννοιαν ἔφασαν τὸ καθόλου ὑφεστηκέναι ἐπὶ τῆς ἐπινοίας δηλονότι μόνον. ὃ καὶ μετὰ τὰ πολλὰ καλεῖται, ὡς ἀνωτέρω εἴρηται. τῇ γὰρ οὖν φασὶν, τὴν μὲν Σωκράτους φύσιν, φέρε εἰπεῖν, αὐτὴν καθ᾽ ἕκαστα εἶναι ἐν τῷ Σωκράτει ὑφεστῶσαν, μὴ μέντοι καθ᾽ ἑαυτὴν εἶναι καθ᾽ ἕκαστα, ἀλλ᾽ οὐδὲ καθόλου καθ᾽ ἑαυτήν, ἀδιαφόρως δὲ ἔχειν διδάσκουσι πρός τε τὸ καθόλου εἶναι καὶ τὸ καθ᾽ ἕκαστα. ἀλλ᾽ ὑπὸ τῆς φύσεως παραγομένην ἐν τοῖς καθέκαστα τὸ καθ᾽ ἕκαστα εἶναι λαμβάνει. καθόλου δὲ γίνεσθαι πέφυκε οὐκ ἔτι ἀπὸ τῆς φύσεως, ἀλλ᾽ ὑπὸ τῆς ἡμετέρας ἐπινοίας. γυμνοῦντες γὰρ ἡμεῖς τῇ ἐπινοίᾳ ταύτην τῶν τῆς ὕλης περιστατικῶν, καὶ πάντων τῶν καθ᾽ ἕκαστα συμβεβηκότων χωρίζοντες ἐπιτηδείως, ἀπεργαζόμεθα εἰς τὸ κατηγορεῖσθαι κατὰ πλειόνων.

Ἐπειδὰν δὲ συγκρίνωμεν ταύτην ἀναφέροντες εἰς τοὺς καθέκαστα ἀνθρώπους, καὶ εὕρωμεν ὁμοίως ἔχουσαν ἐν πᾶσι, κατηγοροῦμεν ταύτην κατ᾽ ἐκείνων. ἀμέλει ἐν τοῖς καθ᾽ ἕκαστα οὖσα, καθ᾽ ἕκαστα μόνον ἐστί. καθόλου δὲ δυνάμει μόνον, καὶ πόρρω. γυμνωθεῖσα δὲ τῶν περιστατικῶν, καὶ ἐν ἐπινοίᾳ ὑφεστῶσα, λέγεται μὲν περὶ ἐκεῖνα καθόλου, ἀλλὰ μεταφυσικῶς, πρὸς δὲ τὸ εἶναι κατὰ λογικὸς καθόλου. ἔτι δυνάμει φασὶν εἶναι,

γίνε-

ΙΩΑΝΝΙΝΑ 2006

γίνεσθαι δὲ ἐνεργείᾳ, ἐπειδὰν ἀναφερομένη πρὸς τὰ καθ' ἕκαστα κατηγορεῖται. συνάγεται δὴ ἐκ τούτων τὸ Καθόλου εἶναι κατ' αὐτοὺς, μίαν τινὰ φύσιν τῷ ἀριθμῷ, τῇ ἐπινοίᾳ ὑφεστηκυῖαν κατὰ ἀφαίρεσιν ἀπὸ τῶν καθ' ἕκαστα, ἥτις ἅμα πᾶσι κατηγορεῖται. Ἐμπεδοῦσι δὲ τὸ τοιοῦτον δόγμα διὰ πολλῶν. Πρῶτον ὅτι τῶν ὁπωσδήποτε ὑφεστώτων ἐν τοῖς αἰσθητοῖς, ἕκαστον ὄντι ἐστὶν ἀχώριστον ἑαυτοῦ, καὶ πάντων τῶν ἄλλων χωριστόν. πᾶν δὲ τὸ τοιοῦτον, ἀδύνατον ἐν πολλοῖς εἶναι, καὶ κατὰ πλειόνων κατηγορεῖσθαι, οἷς εἶναι βούλεται τὸ Καθόλου. οὐδὲν ἄρα τῶν ἐν τοῖς αἰσθητοῖς ὑφεστώτων ἐστὶ Καθόλου. ὅτι δὲ ἡ ἐν τοῖς αἰσθητοῖς φύσις, οὔτε καθέκαστα ἐστὶν, οὔτε καθόλου, συνάγουσι λόγῳ τοιῷδε. τὸ καθ' αὑτὸ, (φέρε εἰπεῖν τὸ καθ' αὑτὸ θερμὸν ὡς τὸ Πῦρ, ἢ καθ' αὑτὸ λογικὸν ὡς ὁ Ἄνθρωπος), οὐκ ἐνδέχεται ἑαυτῷ ἀντικείμενον εἶναι. ἡ φύσις ἄρα ἡ ἐν τοῖς καθέκαστα, εἰ μὲν ἦν καθ' αὑτὴν Καθόλου, οὐκ ἂν ἐγίνετο καθ' ἕκαστα συμπαραγομένη τῷ Σωκράτει. οὐδὲ καθόλου ἂν ἐγίνετο τῇ ἐπινοίᾳ, εἴγε καθ' ἕκαστα καθ' ἑαυτὴν ὑπῆρχεν. ἀλλ' ἀδιαφόρως ἔχει πρὸς ἀμφότερα. ὡς τὸ ἱμάτιον, φέρε εἰπεῖν, πρὸς τὸ λευκὸν εἶναι, ἢ μέλαν. Τρίτον τὸ Καθόλου ὄντι ἐστὶ κοινὸν πλείοσι, καὶ διαιρετὸν καθ' αὑτό. τοιοῦτον οὐδὲν ἐστὶ πρὸ τῆς ἐπινοίας τῆς ἡμετέρας ἐν τοῖς οὖσιν. ἄρα οὐδὲ ὅτι καθόλου πρὸ τῆς ἡμετέρας ἐπινοίας ὑφεστὸς ἐν τοῖς οὖσιν, ἀλλ' ἐπὶ μόνης τῆς ἐπινοίας ὑφέστηκε. Τέταρτον, εἰ πρὸ τῆς ἡμετέρας ἐπινοίας ἡ ἀνθρώπινη φύσις, φέρε εἰπεῖν, καθόλου ἦν ἐν τῷ Σωκράτει, ἦν ἂν καὶ ἐν τῷ Πλάτωνι ἡ αὐτὴ Καθόλου, καὶ ἐν τοῖς λοιποῖς ἀνθρώποις ὁμοίως. ἀλλ' εἰ τοῦτο, πολλὰ ἂν ἦν τὰ Καθόλου ἐν τῷ αὐτῷ Εἴδει. μᾶλλον δὲ οὐ καὶ τὸ αὐτὸ Εἶδος, ἦν ἂν πολλὰ Εἴδη.

Παρὰ ταῦτα, πῶς ἐννοοῦσιν οἱ λέγοντες τὸ Καθόλου εἶναι τὴν ἐν τοῖς αἰσθητοῖς φύσιν, καθὸ ἀδιαφόρως ἔστηκε πρὸς πολλά; τὸ γὰρ ἀδιαφόρως ἔχον πρὸς πολλὰ, οὐκ ἔστιν ὄντινι ἴδιον. ἀλλ' ἑκάστη τῶν ἐν τοῖς αἰσθητοῖς φύσις, οὐκ ἂν εἴη τοῦ Πλάτωνος, οὐδ' ἡ τοῦ Πλάτωνος, ἑτέρου τινὸς ἂν γένοιτο, ἄρα οὐδεμία τῶν ἐν τοῖς αἰσθητοῖς φύσις ἐστὶν ἀδιαφόρως ἔχουσα πρὸς πολλά.

## Ἀνασκευὴ τῆς ἀνωτέρω δόξης.

Οὗτοι μὲν οἱ γεννάδαι ἐπαγγέλλονται διδασκαλίαν Ἀριστοτελικὴν, καὶ σφᾶς αὐτοὺς Περιπατητικοὺς ἐπιγράφουσι, δοκοῦσι δέ πως ἀντεστραμμένως μιμεῖσθαι τὸν Πλάτωνα. ἃ γὰρ ἐκεῖνος πρὸ τῶν αἰσθητῶν ἐνομοθέτει,



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ταῦτα μετὰ τὰ αἰσθητὰ οὗτοι πλάττουσι. καί τοιγε πολὺ καὶ τῶν Πλατωνικῶν Εἰδῶν τὸ δόγμα τούτων παραλογώτερον. εἴπερ ἐκεῖνα μὲν χωριστὰ τῆς ὕλης τιθέμενα, κατὰ μίμησιν μόνον ἀπετέλει τὰ ἔνυλα, τούτων δὲ τὸ καθόλου ἓν ὂν τῷ ἀριθμῷ, ὡς αὐτοὶ βούλονται, ὅλον αὖ εἴη ἅμα ἐν ἑκάστῳ τῶν κατὰ μέρος, καὶ ὅλον ἐν ἑαυτῷ καθ᾽ αὑτὸ ὑφεστῶτι κεχωρισμένον τῶν πολλῶν. ὃ μόνον μυστικῶς καὶ ὑπὲρ οὐσίαν, ἐπὶ τῆς μακαρίας δίδοται φύσεως. πῶς δὲ καὶ τὸ Καθόλου μὴ ὁμώνυμον ᾖ (ὡς ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῶν ὑστέρων Ἀναλυτικῶν διδάσκει, καὶ αὐτοὶ ἀποδέχονται,) εἰ μὴ αἱ ἐν τοῖς καθ᾽ ἕκαστα φύσεις, καθὸ ἀδιαφόρως ἔχουσι πρὸς ἀλλήλας, κοινωνοῦσιν ἀλλήλαις ἢ γὰρ ταῖς ὑλικαῖς περιστάσεσι συνυπάρχουσιν, οὐδὲν αὐτῶν μὴ ὁμώνυμον κατηγορεῖται. εἶτα πῶς κατὰ πλειόνων τῶν καθ᾽ ἕκαστα κατηγορηθείη τὸ κατ᾽ ἀφαίρεσιν ἐπινοούμενον, οἷον ἐκεῖνο τὸ ἐν ἐπινοίᾳ, εἰ μὴ καὶ ἐν ταῖς καθέκαστα φύσεσιν εἴη; μᾶλλον δὲ τί ἄλλο ἐστὶ τὸ κατηγορεῖν, ἢ λέγειν ἐνυπάρχειν τὸ κατηγορούμενον, ἐν τοῖς καθ᾽ ὧν κατηγορεῖται. οὐ γὰρ ἔξωθέν τι ἀπονέμοντες τοῖς πράγμασι κατηγοροῦμεν, ἀλλὰ τὰ ἐνόντα ἑκάστῳ ἐμφαίνομεν τῷ λόγῳ. ταύτῃ ἄρα ἀληθὲς ἐπινοίας ἔργον τίθεσθαι τὸ Καθόλου, καὶ μίαν τῷ ἀριθμῷ φύσιν ἀμέριστον καθ᾽ ἑαυτὴν μένουσαν, ἐν πολλοῖς ἅμα ὑπάρχειν ὑποστατικῶς διῃρημένοις. ὅτε δὲ φασὶν ὅτι τὸ ἀδιαφόρως ἔχον πρὸς πολλά, οὐκ ἔστιν οὔτινι ἴδιον, ἢ τὸ παράπαν οὐκ ἐννοοῦσι τοῦτο, ἢ κακουργοῦντες παρεξηγοῦσι τὸ λεγόμενον. τὸ γὰρ ἀδιαφόρως, οὐχ οὕτω ληπτέον, ὥστε λέγειν τὴν φύσιν τοῦ Πλάτωνος δυνατὸν εἶναι καὶ ἐν τῷ Σωκράτει, καὶ ἄλλον ἐν ἄλλῳ, ἀλλὰ ἀντὶ τοῦ ἐπίσης καὶ ὁμοίως θεωρεῖσθαι ἐν τοῖς πολλοῖς. καὶ ταῦτα μὲν περὶ τούτων. ἵνα δὲ καὶ τὸν ἀριθμὸν τῶν κατηγορηματικῶν πέντε φωνῶν συνάξωμεν ἐπιστημονικῶς, ἐξ ἀφύκτου διαιρέσεως, οὕτω συνακτέον. τῆς φωνῆς, ἡ μὲν ἐστὶν ἔναρθρος, ἡ δὲ ἄναρθρος. καὶ περὶ μὲν τῆς ἀνάρθρου φωνῆς, ἐπείπερ οὐκ ἐγγράμματος, λόγος οὐδείς. τῆς δὲ ἐνάρθρου, καὶ ἐγγραμμάτου, ἡ μὲν ἐστὶ σημαντική, ἡ δὲ ἄσημος. ἄσημος μὲν ἡ μὴ δηλοῦσα τὶ πρᾶγμα, ὡς τὸ βλίτυρι, σκινδαψός. ἥτις καὶ ἀκατηγόρητος λέγεται, ὡς μὴ λεγομένη κατά τινος. σημαντικὴ δὲ καὶ κατηγορηματικὴ φωνὴ ἐστίν, ἡ σημαίνουσα πρᾶγμα. οἷον ζῶον, ἄνθρωπος, λίθος. ἥτις καὶ ἁπλῶς κατηγορηματικὴ φωνὴ λέγεται.

Αὕτη τοίνυν ἡ ἁπλῶς κατηγορηματικὴ φωνὴ λεγομένη, ἢ μερική ἐστιν, ἢ καθόλου. καὶ μερικὴ μὲν ἐστίν, ἡ ἐπὶ τῶν ἀτόμων παραλαμβανομένη. περὶ ὧν οὐ διαλαμβάνουσιν οἱ Φιλόσοφοι, διὰ τὸ ἄπειρα ὑπάρχειν αὐτά. ἡ δὲ ἁπλῶς κατηγορηματικὴ καθόλου φωνή, εἰς Πέντε καθόλου φωνὰς

διαι-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

διαιρεῖται, ὑφ' ἃς πᾶσαι αἱ φωναὶ ἀνάγονται. ὥσπερ γὰρ ἡ Γραμματικὴ Τέχνη ἐπενόησε τὰ ὀκτὼ μέρη τοῦ λόγου, εἰς ἃ πᾶσα λέξις ἀνάγεται, καὶ ἡ Ῥητορικὴ τὰς δεκατέσσαρας Στάσεις, ὑφ' ἃς πᾶν πολιτικὸν ζήτημα ἀνάγεται, καὶ ὁ Ἀριστοτέλης τὰς δέκα Κατηγορίας, ὑφ' ἃς πάντα τὰ ὄντα ὑπάγεται, οὕτω καὶ πᾶσα φωνὴ ἐπὶ τὴν Φιλοσοφίαν οὖσα, ἐπὶ τὰς πέντε φωνὰς ταύτας ἀνάγεται. ἢ γὰρ Γένος ἐστὶν, ἢ Εἶδος, ἢ Διαφορὰ, ἢ Ἴδιον, ἢ Συμβεβηκός.

Δυνάμεθα δὲ συναγαγεῖν διχῶς τὸν ἀριθμὸν τῶν εἰρημένων πέντε καθόλου φύσεων, ἢ ἐκ τῶν προτέρων. ἀπὸ τῆς διαφορᾶς δηλαδὴ τοῦ τρόπου τῆς ὑπάρξεως τούτων ἐν τοῖς καθ' ἕκαστα. ἢ ἐκ τῶν ὑστέρων. ἐκ τῆς διαφορᾶς δηλαδὴ τοῦ τρόπου τῆς κατηγορίας τῶν αὐτῶν. συνάγεται δὲ ἐκ τῶν προτέρων, ὡδί. ὅ,τι ἐστὶν ἐπὶ τῶν καθ' ἕκαστα, φέρε εἰπεῖν, ἐπὶ τοῦ Σωκράτους, τοῦτο ἢ οὐσιῶδες αὐτῷ ὑπάρχει, ἢ ἐπουσιῶδες. καὶ εἰ μὲν οὐσιῶδες, ἢ τὴν ὅλην αὐτοῦ οὐσίαν σημαίνει, οἷον ἐστὶν ἐπὶ τοῦ αὐτοῦ Σωκράτους τὸ εἶναι ἄνθρωπον. καὶ τοῦτο λέγεται τοῖς λογικευομένοις Εἶδος. ἢ μέρος τῆς Οὐσίας αὐτοῦ σημαίνει, συγκεχυμένως μέντοι ὡς ὅλον αὐτοῦ κατηγορεῖται. ὅπερ αὖθις ἢ καθολικώτερόν ἐστι, καὶ ἀναλογεῖ τῇ ὕλῃ, οἷον ἐπὶ τοῦ Σωκράτους τὸ εἶναι ζῶον, καὶ τοῦτο καλεῖται παρὰ τοῖς λογικευομένοις Γένος. ἢ ἐστὶν ἧττον καθόλου, καὶ ἀναλογεῖ τῇ μορφῇ. ὅπερ ἐκείνοις λέγεται Διαφορά. ὁμοίως δὲ καὶ τὸ ἐπουσιῶδες. ἢ ἀπὸ τῆς Οὐσίας καὶ Μορφῆς προέρχεται τοῦ ἔχοντος, οἷον ἐπὶ τοῦ Σωκράτους τὸ εἶναι γελαστικόν. ὃ καὶ καλεῖται Ἴδιον. ἢ ἔξωθεν προσγίνεται τῷ λόγῳ τῶν ὑλικῶν περιστάσεων. ὡς ἐπὶ τοῦ αὐτοῦ τὸ εἶναι λευκὸν, φαλακρὸν, καὶ τὰ τοιαῦτα. ἃ δὴ πάντα ὑπὸ τὸ Συμβεβηκὸς ἀνάγεται.

Ἐκ δὲ τῶν ὑστέρων καὶ τοῦ τρόπου τῆς κατηγορίας συνάγεται ὁ αὐτὸς ἀριθμὸς ὁμοίως τοῖς προειρημένοις. ὅσα γὰρ ἐπὶ τοῦ Σωκράτους κατηγορεῖται, ἢ κατ' οὐσίαν λέγεται, ἢ κατὰ Συμβεβηκός. καὶ τῶν κατ' οὐσίαν λεγομένων, τὰ μὲν ἐν τῷ τί ἐστι κατηγορεῖται. τούτων δὲ τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων, τὰ μὲν λέγεται κατὰ πλειόνων Εἰδῶν, ὡς πλείοσιν Εἴδεσιν ἐνυπάρχοντα, οἷά εἰσι τὰ Γένη. τὰ δὲ καθ' ἑνὸς Εἴδους μόνου, οἷά εἰσι τὰ Εἴδη. τὰ δὲ οὐκ ἐν τῷ τί ἐστιν, ἀλλ' ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται. ἃ δὴ καὶ Διαφοραὶ προσαγορεύονται. ὁμοίως καὶ τῶν ἐπουσιωδῶς λεγομένων, τὰ μὲν καθ' ἑνὸς μόνου εἴδους λέγεται, ὡς τὰ ἴδια. τὰ δὲ κατὰ πλειόνων, ὡς τὰ ἁπλῶς συμβεβηκότα.

Συνα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Συνακτέον καὶ οὕτως.

Ἡ ἁπλῶς κατηγορηματικὴ καθόλου φωνή, ἢ οὐσιωδῶς κατηγορεῖται, ἢ ἐπουσιωδῶς. καὶ εἰ μὲν οὐσιωδῶς, ἢ πολλαῖς φύσεσιν ἁρμόζει, ἢ μιᾷ. καὶ εἰ μὲν πολλαῖς, ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ Γένος. ἢ ἐν τῷ ὁποῖον τί ἐστι, καὶ λέγεται Διαφορά. εἰδὲ μιᾷ, ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ Εἶδος. ἢ ἐν τῷ ὁποῖον τί ἐστι, καὶ λέγεται οὐσιῶδες Ἴδιον. Ἡ δὲ ἐπουσιωδῶς κατηγορουμένη, ἢ μιᾷ φύσει ἁρμόζει καὶ αὕτη, ἢ πολλαῖς. καὶ εἰ μὲν μιᾷ φύσει ἁρμόζει, ποιεῖ τὸ ἐπουσιῶδες Ἴδιον, ὃ καὶ ἐν τῷ ὁποῖον τί ἐστι κατηγορεῖται. ἐπὶ γὰρ τῶν ἐπουσιωδῶν οὐδεμίαν χώραν ἔχει τὸ τί ἐστιν. εἰ δὲ πολλαῖς φύσεσιν ἁρμόζει, ποιεῖ τὸ συμβεβηκός. καὶ εἰ μὲν ἐν τῷ ὁποῖον τί ἐστι κατηγορεῖται, ποιεῖ τὸ ἀχώριστον συμβεβηκός. εἰ δὲ ἐν τῷ πῶς ἔχον ἐστί, ποιεῖ τὸ χωριστὸν συμβεβηκός. συνάγονται τοίνυν ἐντεῦθεν καθόλου φωναὶ κατηγορηματικαὶ ἁπλῶς, ἤτοι σημαντικαὶ πέντε. Γένος, Εἶδος, Διαφορά, Ἴδιον, καὶ Συμβεβηκός. περὶ ὧν τοῖς φιλοσοφοῦσιν ὁ λόγος. Ἢ καὶ ἔπος. αἱ καθόλου σημαντικαὶ φωναὶ ἢ οὐσιωδῶς κατηγοροῦνται, ἢ ἐπουσιωδῶς. καὶ εἰ μὲν οὐσιωδῶς, ἢ ἐν τῷ τί ἐστι, ἢ ἐν τῷ ὁποῖον τί ἐστι. καὶ εἰ μὲν ἐν τῷ ὁποῖον τί ἐστι, ἐστὶν ἡ Διαφορά. εἰ δὲ ἐν τῷ τί ἐστιν, εἰ μὲν κατὰ διαφερόντων τῷ εἴδει, ἐστὶ τὸ Γένος, εἰ δὲ κατὰ διαφερόντων τῷ ἀριθμῷ, ἐστὶ τὸ Εἶδος. Εἰ δὲ ἐπουσιωδῶς, ἢ καθ' ἑνὸς Εἴδους κατηγορεῖται, καὶ ἔστι τὸ Ἴδιον. ἢ κατὰ πλειόνων, καὶ ἔστι τὸ ἁπλῶς Συμβεβηκός. δῆλον οὖν ὅτι ἐκ τῶν τοσούτων καὶ τοιούτων διαιρέσεων, ἀνάγκη πᾶσαν φωνὴν ταῖς εἰρημέναις ταύταις κεχρῆσθαι φωναῖς, καὶ οὔτε πλείοσιν, οὔτε ἐλάττοσιν.

## Περὶ τῶν ἰδιωμάτων τῶν πέντε Φωνῶν.

Ἰστέον ὅτι αὗται αἱ πέντε Φωναὶ αἱ κατηγορηματικαί, (αἵπερ καὶ πέντε κατηγορήματα λέγονται κατὰ τοὺς νεωτέρους) τοιαῦτα ἔχουσι συστατικὰ ἰδιώματα. Πρῶτον μὲν γὰρ ἁπλοῦν, καὶ οὐδὲ συμπλοκῆς νόημα σημαίνουσι, καθὸ οἱ ὅροι (1), καὶ αἱ προτάσεις, καὶ τὰ τούτοις ὅμοια τῆς παρούσης πραγματείας ἀποκλείονται. Δεύτερον δὲ τὰ ἀπὸ τούτων σημαινόμενα νοήματα, συνώνυμα ἐστί, καθὸ τὰ ὁμώνυμα καὶ ἀνάλογα ἀπὸ τούτων διαστέλλονται. Τρίτον πλείοσιν ἐνυπάρχουσι, καὶ κατὰ πλειόνων κατη-

γοροῦν-

(1) Οὐχ οἱ ἁπλοῖ ὅροι, ἀλλ' οἱ ὁρισμοί.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γορεῦται. ὅθεν τὰ ἄτομα καθ᾽ ἑνὸς κατηγορούμενα οὐ συγκαταριθμοῦνται τούτοις. Τέταρτον ὀρθῶς (1) ὀφείλουσι κατηγορεῖσθαι. διὸ τὰ τὸ ὅλον συνιστῶντα μέρη κατηγορήματα οὐ λέγονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ τάξεως τῶν πέντε Φωνῶν.

Ἡ Τάξις διχῶς θεωρεῖται παρ᾽ ἀνδράσι σοφοῖς. ἡ μὲν κατὰ φύσιν, ἡ δὲ κατὰ διδασκαλίαν λεγομένη, καθ᾽ ἃς αἱ θεωρίαι περὶ ἃ θεωροῦσιν ἐκτείνονται. τηνικαῦτα δὲ ἡ φυσικὴ τάξις διασώζεται ἐπὶ τῆς θεωρίας, ἡνίκα πρῶτα γίνεται ἐπ᾽ αὐτῆς, τὰ πρῶτα κατὰ φύσιν. ἡ δὲ διδασκαλικὴ, ἡνίκα πρῶτα γίνεται ἐπὶ τῆς διδασκαλίας, ἀφ᾽ ὧν ἀρχόμενοι ῥᾶον μανθάνομεν. ἀμφότεραι δὲ ἀπ᾽ ἀλλήλων οὐ διαστέλλονται. τὰ πολλὰ γὰρ ἡ τάξις τῆς διδασκαλίας τῇ τάξει τῆς φύσεως ἕπεται. ὅτι καὶ ὡς ἐπὶ τὸ πλεῖστον ῥᾶον μανθάνομεν ἀρχόμενοι ἀπὸ τῶν κατὰ φύσιν προτέρων. εἰσὶ δὲ τὰ φύσει πρότερα, ὧν ἀναιρουμένων, συναναιρεῖται τὰ μετ᾽ ἐκεῖνα, εἰσαγομένων δὲ οὐ συνεισάγεται. κατ᾽ ἀμφοτέρας τοίνυν τὰς τάξεις προηγεῖται ἄλλη ἄλλης τῶν πέντε καθόλου φύσεων. τὸ μὲν οὖν Γένος προηγεῖται τῶν λοιπῶν, κατά τε τὴν φυσικὴν τάξιν, καὶ τὴν διδασκαλικὴν, ἀλλ᾽ οὐκ ἐπίσης πάντων. ὁμοίως καὶ αἱ λοιπαί. τὸ Γένος τοιγαροῦν προτάττεται τῆς Διαφορᾶς, ὅτι περιεκτικόν ἐστι Διαφορῶν. τὸ γὰρ Ζῶον Γένος ὄν, περιέχει ἐν ἑαυτῷ τὸ λογικὸν καὶ ἄλογον. ἡ δὲ Διαφορὰ προτάττεται τοῦ εἴδους, ἐπεὶ καθολικωτέρα τοῦ Εἴδους ἐστί. καὶ γὰρ τὸ λογικὸν καθολικώτερον ἐστὶ τοῦ ἀνθρώπου. φέρεται γὰρ οὐ κατὰ τοῦ Ἀνθρώπου μόνον, ἀλλὰ καὶ κατὰ τοῦ Ἀγγέλου. εἰ δὲ ἐν τῇ ἐκθέσει τὸ Εἶδος τέτακται πρὸ τῆς Διαφορᾶς, τοῦτο γέγονε διὰ τὸ εἶναι τῶν πρός τι τὸ Γένος καὶ τὸ Εἶδος. τὸ δὲ εἶδος προτάττεται τοῦ Ἰδίου. ἐπειδὴ τὸ μὲν Εἶδος μόνον οὐσιῶδές ἐστι, τὰ δὲ Ἴδια οὐσιώδη τε καὶ ἐπουσιώδη. διὸ τὰ καθαρῶς οὐσιώδη τῶν ἐπουσιωδῶν προτιμότερα. ἄλλως δὲ καὶ πρότερον δέον εἶναι τὸ Εἶδος, καὶ οὕτως ἔχειν τὸ Ἴδιον, εἴδεσιν ἄλλοις ἀμέθεκτον. τὸ δὲ Ἴδιον προτάττεται τοῦ Συμβεβηκότος ἐπειδὴ τὸ μὲν Συμβεβηκὸς μόνον ἐπουσιῶδές ἐστι, τὸ δὲ Ἴδιον καὶ οὐσιῶδες, καὶ ἐπουσιῶδες. ἀλλὰ καὶ αὐτὸ τὸ ἐπουσιῶδες Ἴδιον, τιμιώτερον ἐστὶ τοῦ Συμβεβηκότος. τὸ μὲν γὰρ ψυχική τις ἐστὶ δύναμις ἐντὸς θεωρουμένη, καὶ τὸ εἶδος χαρακτηρίζουσα. μόνῳ γὰρ ὑπάρχει τῷ Εἴδει, καὶ παντὶ, καὶ ἀεί. ὅθεν καὶ ἀντιστρέφει. τὸ δὲ Συμβεβηκὸς ἐκτός ἐστι περὶ τὸ σῶμα, καὶ πρὸς αὐτὴν τὴν ἐπιφάνειαν, καὶ οὐδὲ μόνῳ τῷ Εἴδει. τὸ μὲν οὖν Γένος,

(1) Ἤτοι δὴ ὀνομαστικῶς.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νος, ἡ Διαφορὰ, καὶ τὸ Εἶδος, οὐσιώδη πάντοτε εἰσί. τὸ δὲ Συμβεβηκὸς ἐπουσιῶδες ἀεί. τὸ Ἴδιον ἐπαμφοτερίζει, καὶ τὰ πολλὰ μὲν ἐπουσιῶδές ἐστιν, εὑρίσκεται δέπου καὶ οὐσιῶδες. οἷον ἐν τῷ Ἀνθρώπῳ τὸ, νοῦ καὶ Ἐπιστήμης δεκτικόν. οὐ γάρ ἐστι τοῦτο Διαφορά. κατὰ πλειόνων γὰρ Εἰδῶν, οὐ καθ᾽ ἑνὸς ἡ Διαφορά. τοῦτο δὲ ἰδίως μόνῳ τῷ Ἀνθρώπῳ πρόσεστι. μόνος γὰρ ὁ Ἄνθρωπος δέχεται τὸν θύραθεν νοῦν τὸν ἐκ μαθήσεως, καὶ μόνος τὰς Ἐπιστήμας διδάσκεται. λέγεται δὲ οὐσιῶδες τὸ τοιοῦτον Ἴδιον, ὅτι παρὸν σώζει τὸ Εἶδος, καὶ ἀπὸν φθείρει. εἰ γὰρ μὴ ὑπάρχει νοῦ καὶ ἐπιστήμης δεκτικὸς, οὐκ ἔστιν αὐτός. λέγεται καὶ καθ᾽ ἑνὸς Εἴδους μόνου, καὶ οὐ κατὰ πολλῶν, καὶ διὰ ταῦτα, οὐσιῶδες. τὸ δὲ γελαστικὸν, Ἴδιον ἀνθρώπου ἐπουσιῶδές ἐστι. παρὸν μὲν γὰρ οὐ σώζει, οὐδὲ ἀπὸν φθείρει. οὐ γὰρ δεόμεθα τοῦ γελᾷν πρὸς συμπλήρωσιν τῆς φύσεως ἡμῶν. τοῦ δὲ νοῦ καὶ Ἐπιστήμης δεκτικοῦ χρήζομεν διὰ τὴν ἔξωθεν γνῶσιν ὡς εἴρηται. Παραλαμβάνονται δὲ καὶ τὰ ἴδια ἐν τοῖς ὁρισμοῖς χαρακτηριστικὰ τυγχάνοντα τῶν Εἰδῶν. ἀλλ᾽ ὅπου ἐστὶν οὐσιῶδες προκρίνεται τοῦ ἐπουσιώδους, ὅπου δὲ οὐσιῶδες οὐχ εὑρίσκεται, τὸ ἐπουσιῶδες εἰσάγεται. καὶ ἐν μὲν τοῖς ἀλόγοις Ζώοις οὐκ ἔστιν εὑρεῖν οὐσιῶδες Ἴδιον, ὁ δὲ Ἄνθρωπος ἐπειδὴ καὶ τῆς ἀλόγου μετέχει φύσεως, καὶ τὴν λογικὴν ψυχὴν ἐξαίρετον ἔχει, διατοῦτο διττὸν φέρει τὸ Ἴδιον. τὸ μὲν γελαστικὸν ὡς κοινωνῶν τοῖς ἀλόγοις, τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ὡς λογικός τε καὶ νοερός. καὶ αὕτη μὲν ἡ τῶν πέντε Φωνῶν τάξις. πῶς δὲ τὸ Γένος τῶν λοιπῶν τεττάρων προηγεῖται, νῦν ῥητέον.

Τοῦ μὲν Συμβεβηκότος προηγεῖται, ᾗπερ ἐστὶν οὐσιῶδες, τοῦ δὲ Ἰδίου κατ᾽ ἀμφότερα, καὶ ὡς οὐσιῶδες, καὶ ὡς καθολικώτερον. τὰ γὰρ καθολικώτερα πρότερα εἰσὶ κατὰ φύσιν ὡς εἴρηται. τῆς δὲ Διαφορᾶς εἰ καὶ μὴ πάσης ὡς καθολικώτερον προηγεῖται, ἀλλὰ πάσης ἐστὶ πρότερον, διὰ τὸ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι, τῆς διαφορᾶς ἐν τῷ ὁποῖον τί ἐστι κατηγορουμένης. ἀεὶ γὰρ ἡ ἐν τῷ τί ἐστι ζήτησις, τῆς ἐν τῷ ὁποῖον τί ἐστι προηγεῖται. τοῦ δὲ Εἴδους κατὰ μὲν τὴν γενικὴν φύσιν προηγεῖται ἀναντιρρήτως, φυσικῶς τε καὶ διδασκαλικῶς. ᾗ γὰρ καθολικώτερον, προηγεῖται κατὰ φύσιν. οἱ δὲ ἀπὸ τῶν καθολικοτέρων ἀρχόμενοι ῥᾷον μανθάνομεν, καὶ κατὰ τὴν διδασκαλίαν. σχετικῶς δὲ θεωρούμενον πρὸς τὸ Εἶδος, οὐ προηγεῖται. τὰ γὰρ σχετικὰ ἅμα εἰσὶ τῇ τε φύσει καὶ τῇ γνώσει.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006




ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Τ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ Γένους.

„ Ἔοικε μήτε τὸ Γένος, μήτε τὸ Εἶδος ἁπλῶς λέγεσθαι, καὶ τὰ ἑξῆς.

Εἰς τρία διαιροῦσι τὸ παρὸν κεφάλαιον, κοινῶς ὑπὸ πάντων τῶν ὑπομνηματιστῶν, ὧν ἐν τῷ πρώτῳ τὰ διάφορα σημαινόμενα τοῦ Γένους ἐκτίθεται ὁ Πορφύριος, ἐν δὲ τῷ δευτέρῳ διαφόρως ὑπογράφει τὸ σημαινόμενον περὶ οὗ ὁ λόγος. κἀν τῷ τρίτῳ τὰς ἀποδοθείσας ὑπογραφὰς, διεξοδικώτερον ἀναπτύσσει.

Ἰστέον ὅτι τὰ ὁμωνύμως λεγόμενα, πρῶτον διαιρετέα, μετέπειτα δὲ ἢ ὁριστέα, ἢ ὑπογραπτέα. ὅθεν καὶ ὁ Πορφύριος, διὰ τὸ εἶναι τῶν ὁμωνύμων τὸ Γένος, πρὸ τοῦ ὑπογράψασθαι τοῦτο, τὰ διάφορα σημαινόμενα τούτου ἐκτίθησιν. οὐκ ἐξέθετο μέντοι ἅπαντα τὰ τοῦ Γένους σημαινόμενα ὁ Πορφύριος, ὅτι σκοπὸς ἦν αὐτῷ ἐκεῖνα μόνον προχειρίσασθαι, ὅσα εἰς ἀνάπτυξιν τοῦ παρὰ Φιλοσόφοις λεγομένου συμβάλλεται. διὸ τρία ταῦτα μόνον, τὰ λοιπὰ παραλιπὼν, ἐπὶ τοῦ παρόντος ἐξέθετο. Πρῶτον τὴν ἄθροισιν καθ' ἣν ἔχουσί τινες σχέσιν τινὰ συγγενείας πρὸς ἀλλήλους, καὶ πρὸς ἕν τι πρῶτον πρὸς ἐκείνους ἀναφερόμενον. οἷάπερ φαμὲν τὸ τῶν Κεκροπιδῶν γένος, ἢ τὸ τῶν Ἡρακλειδῶν, τοὺς ἀπὸ Κέκροπος δηλονότι δηλοῦντες, ἢ ἀφ' Ἡρακλέους καταγομένους. Δεύτερον γένος λέγεται, ὅθεν ἡ ἀρχὴ τῆς γενέσεως ἑκάστου. καὶ τοῦτο διχῶς. ἢ γὰρ τοὺς προγόνους ἐννοοῦμεν, οἷον Κέκροπα, ἢ Ἡρακλέα, ὡς ὅταν λέγομεν, τὸν μὲν ἀπὸ Κέκροπος ἔχειν τὸ γένος, τὸν δὲ ἀφ' Ἡρακλέους. ἢ τὴν πατρίδα γένος ἐννοοῦμεν, καθὸ φαμὲν Πλάτωνα μὲν Ἀθηναῖον, Πίνδαρον δὲ Θηβαῖον εἶναι τὸ γένος. πρότερον δὲ τὸ σημαινόμενον τοῦτο τοῦ ἀνωτέρου, οὗ καθ' ὁμοιότητα καὶ τὸ παρὰ Φιλοσόφοις λέγεται Γένος. ἔστι δὲ ἡ ὁμοιότης τοῦ παρὰ Φιλοσόφοις Γένους πρὸς τὰ λοιπὰ δύο τῶν ἐκτεθέντων σημαινομένων. ὅτι τὸ μὲν πρῶτον ἐδήλου τὴν ἄθροισιν σχετικῶς ἀναφερομένην πρὸς ἕνα τινὰ πρῶτον καὶ πρὸς ἀλλήλους. οἷον τὸ γένος τῶν Ἡρακλειδῶν πρὸς τὸν Ἡρακλῆ, καὶ πρὸς ἀλλήλους. ὃν τρόπον ἔχει ἡ ἄθροισις τῶν Εἰδῶν πρὸς τὸ Γένος, καὶ πρὸς ἄλληλα. ὁμοιοῦται δὲ καὶ τῷ δευτέρῳ σημαινομένῳ κατὰ τὴν σχέσιν τὴν πρὸς τὰ Εἴδη, ἀναφερόμενον πρὸς ἐκεῖνα, καθάπερ ὁ Τεκὼν, ἢ ἡ Πατρὶς ἀναφέρονται πρὸς τὰ ἐξ αὐτῶν.

## Ὑπογραφαὶ τοῦ λογικοῦ Γένους.

Δύο δὲ ὑπογραφὰς τοῦ Γένους ἐπιτίθησιν ὁ Πορφύριος κατὰ τὴν διττὴν σχέσιν ἣ τὸ Γένος ἀναφέρεται πρὸς τὸ Εἶδος, καὶ ἐναλλὰξ τὸ Εἶδος πρὸς τὸ Γένος. ὑπογράφεται δὲ τὸ Γένος κατὰ τὴν πρώτην σχέσιν τοῦ Πορφυρίου, καθ᾽ ἣν δηλαδὴ τὸ Γένος ἀναφέρεται πρὸς τὰ Εἴδη, ὡδί.

„ Γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον. κατὰ δὲ τὴν δευτέραν καθ᾽ ἣν τὰ ὑπὸ τὸ Γένος εἴδη ἀναφέρεται πρὸς τὸ Γένος. Γένος ἐστὶν ᾧ ὑπόκειται τὰ Εἴδη. εἰσὶ δὲ οἱ ἀποδοθέντες οὗτοι τοῦ Πορφυρίου λόγοι, οὐχ ὁρισμοὶ κυρίως, ἀλλ᾽ ὑπογραφαί. οἱ γὰρ ὁρισμοὶ συνίστανται ἐκ Γένους οἰκείου τοῦ ὁριζομένου, καὶ συστατικῆς διαφορᾶς τοῦ αὐτοῦ. τὰ δὲ Γένη ἅπερ εἰσὶ τὰ ὁριζόμενα ἐνταῦθα, οὐ πάντα ἔσχηκε γένος οἰκεῖον. τὰ γὰρ ἀνωτάτω καὶ γενικώτατα οὐκ ἔχει γένος ἀνώτερον ἐξ οὗ ὁρισθείη. πρόσθες ὅτι καὶ εἰσὶ διαφόρων κατηγοριῶν, ὧν οὐδέν ἐστι κοινὸν Γένος. τὸ γὰρ ὄν, ὁμώνυμός τις ἐστὶ φωνὴ λεγομένη κατὰ πασῶν τῶν κατηγοριῶν, ὡς τὰ ἀφ᾽ ἑνὸς, ἢ πρὸς ἕν. διά τοι τοῦτο ὁ Πορφύριος ὑπογραφῇ ἐχρήσατο ἐπὶ τούτων.

## Τί ἐστι τὸ ὑπογραφόμενον.

Ἐπὶ δὲ τοῦ παρόντος τὸ ὑπογραφόμενον οὔτε ἡ καθόλου φύσις μόνη ἐστὶν, οὔτε ἡ σχέσις μόνη τῆς αὐτῆς. οὐδέτερον γὰρ τούτων ὁρίζεται καθ᾽ αὑτό. ἀλλ᾽ ἡ γενικὴ φύσις ὁρίζεται κατὰ τὴν ταυτότητα τῆς σχέσεως, καθ᾽ ἣν ἀδιαφόρως ὑπάρχουσα οὐσιωδῶς ἐν πολλοῖς διαφέρουσι τῷ εἴδει, κατηγορεῖται κατ᾽ αὐτῶν, ὃν τρόπον ἐνυπάρχει τούτοις. δηλαδὴ ἐν τῷ τί ἐστι. ὥστε πρὸς τὸν ἐρώμενον ὁποῖον ἐστὶ τὸ ὑπογραφόμενον ἐπὶ τοῦ παρόντος; ἐρήσεται προσφυῶς. Ἡ γενικὴ φύσις κατὰ τὴν σχέσιν τῆς ταυτότητος ἣν ἔσχηκεν ἐν πολλοῖς ὑπάρχουσα διαφέρουσι τῷ εἴδει. εἰ δὲ εἴποι, πῶς τὸ Ζῶον λέγεται Γένος, εἴπερ ἡ γενικὴ φύσις καθ᾽ αὑτὴν μὴ ὁρίζεται; λεκτέον. ὅτι οὐ κατὰ τὴν οἰκείαν φύσιν, (οὕτω γὰρ ὁριζόμενον, Οὐσία ἐστὶν ἔμψυχος αἰσθητική,) ἀλλὰ κατὰ τὴν σχέσιν τῆς ταυτότητος, καθ᾽ ἣν ἐν τοῖς οὖσιν ὑπάρχει, ἐν Ἀνθρώπῳ, Ἵππῳ, Λέοντι, καὶ τοῖς λοιποῖς Εἴδεσι, καθ᾽ ἣν καὶ κατηγορεῖται κατ᾽ αὐτῶν, ὃν τρόπον καὶ τὰ Εἴδη πρὸς ἄλληλα ἔχειν πῶς λέγεται. καθότι πάντα οὐσιωδῶς εἰσὶ Ζῶα.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Συνάγεται καὶ οὕτω,

Ἡ ἁπλῶς κατηγορικὴ καθόλου φωνὴ κατηγορεῖται.

- Ἢ οὐσιωδῶς, ἢ τοῦτο διχῶς.
  - Ἢ πολλαῖς φύσεσιν ἁρμόζει, ἢ τοῦτο διχῶς.
    - Ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ γένος.
    - Ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, καὶ λέγεται, διαφορά.
  - Ἢ μιᾷ, ἢ τοῦτο διχῶς.
    - Ἢ ἐν τῷ τί ἐστι, ἢ ποιεῖ τὸ εἶδος.
    - Ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, ἢ λέγεται οὐσιῶδες ἴδιον.
- Ἢ ἐπουσιωδῶς, ἢ τοῦτο διχῶς.
  - Ἢ μιᾷ φύσει ἁρμόζει καὶ ποιεῖ τὸ ἐπουσιῶδες ἴδιον. ὃ καὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται.
  - Ἢ πολλαῖς, καὶ ποιεῖ τὸ συμβεβηκός. ἢ τοῦτο διχῶς.
    - Ἢ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται, ἢ ποιεῖ τὸ ἀχώριστον συμβεβηκός.
    - Ἢ ἐν τῷ πῶς ἔχειν ἐστί, καὶ ποιεῖ τὸ χωριστὸν συμβεβηκός.

## Συνάγεται καὶ οὕτω.

Αἱ καθόλου φωναὶ κατηγοροῦνται.

- Ἢ οὐσιωδῶς, ἢ τοῦτο διχῶς.
  - Ἢ ἐν τῷ τί ἐστι, ἢ τοῦτο διχῶς.
    - Εἰ μὲν κατὰ διαφερόντων τῷ εἴδει, ἐστὶ γένος.
    - Εἰ δὲ κατὰ διαφερόντων τῷ ἀριθμῷ, ἐστὶ τὸ εἶδος.
  - Ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, ἢ ἐστιν ἡ διαφορά.
- Ἢ ἐπουσιωδῶς, καὶ τοῦτο διχῶς.
  - Ἢ καθ' ἑνὸς εἴδους κατηγορεῖται, ἢ ἐστὶ τὸ ἴδιον.
  - Ἢ κατὰ πλειόνων, ἢ ἐστὶ τὸ ἁπλῶς συμβεβηκός.

Περὶ τῶν ἰδιωμάτων τῶν πέντε φωνῶν.

- Πρῶτον, ἁπλοῦν ἢ οὐδὲ συμπλεκτὸν νόημα σημαίνουσι, καθ' ὃ οἱ ὁρισμοὶ ἢ αἱ ἀποφάσεις ἢ τὰ τούτοις ὅμοια, τῆς παρούσης πραγματείας τῶν πέντε τούτων φωνῶν ἀποκλείονται.
- Δεύτερον, τὰ ὑπὸ τούτων σημαινόμενα νοήματα, συνώνυμά ἐστι, καθ' ὃ τὰ ὁμώνυμα καὶ ἀνάλογα ὑπὸ τῆς τούτων διαστέλλεται.
- Τρίτον, πλείοσιν ἐνυπάρχουσι καὶ κατὰ πλειόνων κατηγοροῦνται, ὅθεν τὰ ἄτομα καθ' ἑνὸς κατηγορούμενα οὐ συναριθμοῦνται τούτοις.
- Τέταρτον, ὀρθῶς ἐφεξῆς κατηγοροῦνται. διὸ τὰ τὸ ὅλον συνιστῶντα μέρη, κατηγορηματικὰ οὐ λέγονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ τ.ΙΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006